**ἀπαθής**

[Plvt.] *de metr.* 3 (p. 472. 23 sq. Bernardakis) = Anon. *de hex.* 349. 24 sq. = [Hephaest.] 17 (p. 61) οἱ δὲ μηδὲν τούτων τῶν παθῶν ἔχοντες στίχοι ἀπαθεῖς καλοῦνται.

[Hephaest.] 18[a] (p. 62) προκείσθω δὲ ἡμῖν τεχνολογίας χάριν ὁ στίχος οὗτος· ([Hom.] *Il.* I 43 et al.)

ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.

στίχος ἡρωικός, ἀπαθής.

Evstath. in [Hom.] *Il.* I 1 (I, p. 18. 23 sqq. Valk) ὅτι τὸ ‘Πηληϊάδεω Ἀχιλῆος’ οὐ φυσικῶς ἔχει τοῦ ἡρωϊκοῦ μέτρου τοῦ ἐκ δακτύλων καὶ σπονδείων συγκειμένου, ἀλλὰ πάθος ἴσχει, ὃ λέγεται συνίζησις. αἱ γὰρ τέσσαρες συλλαβαί, αἱ μετὰ τοὺς τέσσαρας πόδας ἤγουν τὸ δε καὶ τὸ ω καὶ τὸ α καὶ τὸ χι εἰς δάκτυλον καταλογίζονται, τοῦ δε καὶ τοῦ ω λαμβανομένων ἀντὶ μιᾶς μακρᾶς. κατὰ δέ τινας ἡ μετὰ τοὺς πρώτους τρεῖς πόδας τετρασυλλαβία, τὸ ληϊάδε, δακτυλικῶς ποδίζεται, ὡς τοῦ ι καὶ τοῦ α καταλογιζομένων ἀντὶ βραχείας μιᾶς. λέγεται δὲ τὸ πάθος συνίζησις … (I, p. 19. 16 sqq. Valk) ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι ἐπίτηδες ὁ ποιητὴς ἐχασμῴδησε διὰ εὐρυστομίαν καὶ σεμνὸν ὄγκον φωνῆς, ὃς γίνεται μὲν καὶ ἄλλως, μάλιστα δὲ διὰ τῆς συνδρομῆς τοῦ ω καὶ α, ὡς δηλοῦσιν οἱ τεχνικοί. ἄλλως γάρ, εἰ μὴ τοῦτο ἐπραγματεύσατο, ἴσχυε τῆς χάσμης ἀπαλλαγεὶς ἀπαθῆ τὴν συνθήκην τοῦ στίχου τέλεον ποιῆσαι, εἰπών ‘Πηλείδου’ ἤ ‘Πηλιάδου Ἀχιλῆος’. ἀλλ᾽ οὐκ ἤθελε· πλεονάσας δὲ καθαροῖς φωνήεσιν ἐσέμνυνε καὶ τῇ χασμῳδίᾳ τὸ τοῦ νοήματος ὕψος ἤγουν τῷ ἐντεῦθεν ὄγκῳ τῆς φωνῆς.

Evstath. in [Hom.] *Il.* I 342 (I, p. 179. 1 sqq. Valk) τὸ δὲ πάθος τοῦ στίχου τὸ ἐν τῷ ‘ὀλοῇσι’ θεραπεύουσιν οἱ μετρικοί, ὡς οἴδασιν ἐκεῖνοι, [λαγαροῦ ὄντος καὶ ἐκτείνοντος μουσικῶς τὴν λο συλλαβὴν διὰ τῆς ἐφεξῆς περισπωμένης. τινὲς μέντοι ἐτόλμησαν γράψαι ‘ὀλοιῇσι φρεσίν’, ἵνα οὕτω ἀπαθὴς εἴη ὁ στίχος].

Evstath. in [Hom.] *Il.* X 277 (III, p. 69. 10 sqq. Valk) τὸ δὲ ‘χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς’ οἱ μὲν κατ᾽ ἔκθλιψιν γράφουσι· ‘χαῖρε δὲ τῷ ὄρνιθ᾽ Ὀδυσεύς’, πρὸς ἀπαρτισμὸν ἀπαθῆ δακτύλου. οἱ δὲ παλαιοὶ ἐντελῶς, ὡς προέκκειται, γράψαντες παράγουσιν αὐτό, καθά που καὶ προεγράφη, εἰς ἔνδειξιν συνιζήσεως δύο βραχειῶν συλλαβῶν τῆς ‘θι’ καὶ τῆς ‘ο’ εἰς μίαν βραχεῖαν. ὃ δὴ σπάνιον μέν, φασίν, εὕρηται δ᾽ ὅμως, ὁποῖον καὶ τό· (Praxill. 2 [PMG 748] Page)

ἀλλὰ τεὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

Evstath. in [Hom.] *Il.* X 542 (III, p. 126. 4 sqq. Valk) ἰστέον δὲ ὅτι τὸ ‘δεξιῇ τ᾽ ἠσπάζοντο’ συνίζησιν ἔπαθε λόγῳ προκεφάλου στίχου. εἰ δὲ γράφεται ‘δεξιῇ ἠσπάζοντο’, ἀπαθής ἐστιν ὡς δάκτυλος ὁ πρῶτος ποὺς τοῦ ἔπους.

Evstath. in [Hom.] *Il.* XVI 857 (III, p. 942. 21 sqq. Valk) οἷον δὲ [στιχηρὸν] πάθος ἡ ‘ἀνδροτὴς’ ἐνταῦθα ποιεῖ, δεδήλωται ἀλλαχοῦ. νῦν δὲ τοσοῦτον ἰστέον ὡς ἡ ἀνδροτὴς ἀμφίμακρος οὖσα οὐκ ἄν ποτε ἀπαθῆ στίχον δακτυλικὸν εἶναι ἀφήσει, ὅπου παρεμπέσῃ.

Melamp. in Dion. Thr. GG I 3, p. 52. 31 sqq. Vhlig ἡ ὀξεῖα οὖν τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπικειμένη ἐπάνω βραχείας μηκύνειν αὐτήν,

ἀλλὰ καὶ προκειμένη καὶ μετακειμένη δύνασθαι τῇ βραχείᾳ χρόνον χαρίζεσθαι, ὡς ἐπὶ τοῦ· ([Hom.] *Il.* IV 76)

ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέι λαῶν·

τοῦ γὰρ 'τέρας' ἡ 'ρας' συλλαβὴ βραχεῖα οὖσα διὰ τῆς προκειμένης ὀξείας ἐμηκύνθη τῆς ἐπικειμένης τῇ 'τε' συλλαβῇ· καὶ δοκεῖ ὁ στίχος πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀλλ' ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς προκειμένης ὀξείας. μετακειμένη δέ, ὡς ἐπὶ τοῦ· ([Hom.] *Il.* VI 62)

αἴσιμα παρειπών· ὁ δ' ἀπὸ ἕθεν ὤσατο χειρί·

τὴν 'πο' γὰρ βραχεῖαν οὖσαν ἡ ὀξεῖα τοῦ ἕθεν ἐμήκυνεν, ὅθεν καὶ αὐτὸς ὁ στίχος, δοκῶν κατὰ τὸν πόδα τοῦτον πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς ἐπιφορᾶς τῆς ὀξείας. [*F.R.*]